Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XLIII. Quomodo ad dedicationem Ecclesiae Hierosolymorum, Episcopi ex omnibus provinciis convenere.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

Caput XLIII.

Quomodo ad dedicationem Eccleſiæ Hieroſolymorum, Epiſcopi ex omnibus provinciis convenere.

Cum hæc præcepta exſecutioni mandarentur, alius ab Imperatore nuntius ſupervenit, qui oblatis Imperialibus literis, Synodum hortatus eſt, ut nullâ interpoſitâ morâ omnes quamprimum Hieroſolyma properarent. Cuncti igitur ex Phœnicum provincia digredientes, publico curſu contendere eò quò juſſum erat cœpere. Totuſque ille locus maximo Dei cœtu tandem refertus fuit, cùm ex univerſis provinciis B inſignes Epiſcopi Hieroſolymis in unum conveniſſent. Nam & Macedones primæ apud ſe ſedis Epiſcopum miſerant; & Pannonii ac Mœſi ex tironibus Dei lectiſſimum florem ac præcipuum gentis ſuæ decus direxerant. Aderat etiam Epiſcoporum Perſidis ornamentum, vir ſanctus & in divinis Scripturis apprimè exercitatus. Bithyni quoque & Thraces præſentiâ ſuâ conventum ornabant. Nec deerant ex Ciliciæ Epiſcopis clariſſimi quique. Ex Cappadocia item qui doctrina & eloquentia præſtabant, in medio conſeſſu enituerunt. Adhæc Syria omnis, Meſopotamia, Phœnice, Arabia & Palæſtina ipſa; Ægyptus quoque & Libya, & qui Thebaïdem incolunt, omnes in unum congregati C magnum illum Dei chorum implebant. Quos ex omnibus provinciis innumerabilis hominum multitudo ſequebatur. Aderat porro his omnibus regalis cujuſdam apparitionis obſequium; & ex Imperii palatio miſſi quidam ſpectatæ probitatis viri, qui ſumptibus ab Imperatore ſubminiſtratis feſtivitatem illuſtrarent.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

Ὅτι τῶν ἐν Ἱεροσολύμοις ἐγκαινίων εἰς τὴν ἑορτὴν ἐκ πασῶν ἐπαρχιῶν παρῆσαν Ἐπίσκοποι.

Ἐπεὶ δὲ δι' ἔργων ἐχώρει τὰ προστεταγμένα, κατελάμβανεν ἄλλος βασιλικὸς ἀνήρ, ἐπισπέρχων τὴν σύνοδον σὺν γράμμασι βασιλικοῖς, σπεύδειν καὶ μηδὲν ἀναβάλλεσθαι τὴν ἐπὶ τὰ Ἱεροσόλυμα παρορμῶν γε πορείαν. ἄραντες οὖν οἱ πάντες ἀπὸ τοῦ Φοινίκων ἔθνους δημοσίοις δρόμοις ἤλαυνον ἐπὶ τὰ προκείμενα. ἐπληροῦτο δὲ τότε πᾶς ὁ τῇδε τόπος μεγίστης Θεοῦ χορείας, ἐπὶ ταυτὸν ἐν τοῖς Ἱεροσολύμοις συνηγμένων τῶν ἐξ ἁπάσης ἐπαρχίας διαφανῶν Ἐπισκόπων. Μακεδόνες μὲν γὰρ τὸν τῆς παρ' αὐτοῖς μητροπόλεως παρέπεμπον· Παννόνιοί τε καὶ Μυσοὶ, τὰ παρ' αὐτοῖς ἀνθοῦντα κάλλη τῆς τοῦ Θεοῦ νεολαίας. παρῆν δὲ καὶ Περσῶν Ἐπισκόπων ἱερὸν χρῆμα, τὰ θεῖα λόγια ἐξηκριβωκὼς ἀνήρ· Βιθυνοί τε καὶ Θρᾷκες τὸ πλήρωμα τοῦ συνόδου κατεκόσμουν. οὐ μὴν ἀπελιμπάνοντο (οὐδὲ) Κιλίκων οἱ διαφέροντες. καὶ Καππαδοκῶν δ' οἱ πρῶτοι, παιδεύσει λόγων μέσοι τοῖς πᾶσι διέπρεπον· Συρία τε πᾶσα καὶ Μεσοποταμία, Φοινίκη τε καὶ Ἀραβία σὺν αὐτῇ Παλαιστίνῃ. Αἴγυπτός τε καὶ Λιβύη, οἵ τε τὴν Θηβαίων οἰκοῦντες χώραν, πάντες ὁμοῦ ἐπλήρουν τὴν μεγάλην τοῦ Θεοῦ χορείαν· οἷς ἀναρίθμητος ἐξ ἁπασῶν τῶν ἐπαρχιῶν ἐπηκολούθει λεώς. παρῆν δὲ τούτοις ἅπασι βασιλικὴ ὑπηρεσία. ἄνδρες τ' ἐξ αὐτῶν βασιλείων δόκιμοι κατεπέμποντο, φαιδρύνοντες τὴν ἑορτὴν ταῖς βασιλέως χορηγίαις.

Caput XLIV.

Quomodo per Marianum Notarium excepti ſint, & pecunia pauperibus erogata: & de donariis Eccleſiæ.

D His autem omnibus præerat vir Imperatori comprimis utilis; fide, religione, & ſacrarum literarum peritia conſpicuus. qui cùm tyrannicis temporib⁹ pro pietatis defenſione multis confeſſionib⁹ inclaruiſſet, nõ immerito harum rerum diſpoſitionem ſibi commiſſam accepit. Hic igitur omni cum ſinceritate Imperatoris juſſibus obſecutus, Epiſcoporum quidem cœtum ſingulari comitate, & magnificentiſſimis epulis

ΚΕΦΑΛΑΙΟΝ ΜΔ΄.

Περὶ τῆς διὰ Μαρκιανοῦ τοῦ Νοταρίου δεξιώσεως αὐτῶν, καὶ τῆς εἰς πτωχοὺς διαδόσεως, καὶ ἀναθημάτων τῆς ἐκκλησίας.

Ναὶ μὴν καὶ ὁ τούτοις ἅπασιν ἐφεστὼς βασιλεῖ δεξιὸς ἀνήρ, πίστει καὶ εὐλαβείᾳ λόγων τε θείων ἐμπρέπων ἀσκήσει. ὃς δὴ καὶ ταῖς ὑπὲρ εὐσεβείας ὁμολογίαις κατὰ τὸν τῶν τυράννων καιρὸν λαμπρυνόμενος, εἰκότως τὴν τῶνδε διάταξιν ἐπιστεύετο. καὶ δὴ τῷ βασιλέως ὅδε νεύματι σὺν εἰλικρινείᾳ πάσῃ διακονούμενος, τὴν μὲν σύνοδον ἐτίμα φιλοφρόνων δεξιώσει, ἑστιάσεσί τε λαμπραῖς καὶ συμπο-